clamauit. Daphnis verò riſum tenere haud quiuit, eaq; occaſione arrepta in ſinũ puellæ manus immiſit, optimamq; cicadam, ne quidem in dextera ſilentem extraxit. Videns eam Chloe gaudio perfundi cœpit, atque baſiauit, arreptamq; iterum gremio iniecit garrientem. Ad hoc ipſos interdum palumbes ex ſylua paſtorale quiddã canens oblectabat. Chloe autem diſcẽdi cupida, quũ quæreret, quid ſibi vellet palũbes, Daphnis eã edocuit fabulam quæ vulgo iactabatur: Erat virgo, puella, pariter vt tu formoſa, quæ ſimiliter in flore ætatis haut pauciores quàm tu boues paſcebat. Eadem vtiq; & perita cantandi erat, bouesq; ipſius modulatione adeò capiebãtur, vt neque pedi ictu, neq; ſtimuli inflictu inter paſcendũ opus haberet: verum ſub pinu ſedens, & coronam ex eadem pinu gerens, cantu

μέγα ἀνεβόησεν· ὁ δὲ Δάφνις ἐγέλασε. καὶ προφάσεως λαβόμενος, καθῆκεν αὐτῆς εἰς τὰ στέρνα τὰς χεῖρας, καὶ ἐξάγει τὸν βέλτιστον τέττιγα, μηδὲ ἐν τῇ δεξιᾷ σιωπῶντα. ἡ δὲ ἥδετο ἰδοῦσα, καὶ ἐφίλησε, καὶ λαβοῦσα καὶ αὖθις ἐνέβαλλε τῷ κόλπῳ λαλοῦντα. ἔτερψεν αὐτούς ποτε φάττα βουκολικὸν ἐκ τῆς ὕλης φθεγξαμένη. τῆς Χλόης ζητούσης μαθεῖν ὅ, τι λέγει, διδάσκει αὐτὴν ὁ Δάφνις μυθολογεῖν τὰ θρυλλούμενα. ἦν παρθένος, παρθένε οὕτω καλή, καὶ ἔνεμε βοῦς πολλὰς οὕτως ἐν ἡλικίᾳ. ἦν ἄρα καὶ ᾠδική, καὶ ἐτέρποντο αἱ βόες αὐτῆς τῇ μουσικῇ, καὶ ἔνεμεν οὔτε καλαύροπος πληγῇ, οὔτε κέντρου προσβολῇ. ἀλλὰ καθίσασα ὑπὸ πίτυν καὶ στεφανωσαμένη πίτυϊ, ᾖδε πᾶνα καὶ τὴν

,, πίτυν, καὶ αἱ βόες τῇ φωνῇ
,, παρέμενον. παῖς οὐ μακρὰν
,, νέμων βοῦς, καὶ αὐτὸς καλὸς,
,, ᾠδικὸς ὡς ἡ παρθένος, φι-
,, λονεικήσας πρὸς τὴν μελω-
,, δίαν, μείζονα ὡς ἀνὴρ, ἡ-
,, δεῖαν ὡς παῖς φωνὴν ἀντε-
,, πεδείξατο. καὶ τῶν βοῶν ὀκτὼ
,, τὰς ἀρίστας ἐς τὴν ἰδίαν ἀ-
,, γέλην θέλξας ἀπεβουκόλη-
,, σεν. ἄχθεται ἡ παρθένος τῇ
,, βλάβῃ τῆς ἀγέλης, τῇ ἥττῃ
,, τῆς ᾠδῆς· καὶ εὔχεται τοῖς
,, θεοῖς ὄρνις γενέσθαι, πρὶν
,, οἴκαδε ἀφικέσθαι. πείθον-
,, ται οἱ θεοὶ, καὶ ποιοῦσι τήνδε
,, τὴν ὄρνιν, ὄρειον ὡς παρθένον,
,, μουσικὴν ὡς ἐκείνην. καὶ
ἔτι νῦν ᾄδουσα μηνύει τὴν
,, συμφορὰν, ὅτι βοῦς ζητεῖ
πεπλανημένας. τοιάσδε τέρ-
ψεις αὐτοῖς τὸ θέρος παρεῖ-
χε. μετοπώρου δὲ ἀκμάζοντος
καὶ τοῦ βότρυος, Τύριοι λῃσταὶ
Καρικὴν ἔχοντες ἡμιολίαν,
ὡς ἴσως μὴ δοκοῖεν βάρβαροι

cantu Pana & pinum re- «
ſonabat, boueſq; à voce i- «
pſius haud abſcederant. «
Adoleſcens non procul in- «
de boues paſcens, & ipſe «
pulcher, virginiq; canendi «
artificio nihil cedens, ſua- «
uiſſimum iſtum cantũ æ- «
mulatus, altiorem vocem «
prout maſculus, ſed & dul- «
cem vti puer contrà reddi- «
dit, & ſic octo è bobus ad «
ſua armenta demulcendo «
perductos, abgregauit. In- «
dignè tulit puella hoc da- «
mnum armento datũ, ſeq; «
cantu inferiorem extitiſſe, «
& ſtatim preces ad Deos «
cõcepit, quo in auem mu- «
taretur, priuſquam domũ «
deueniret. Adnuũt Dii, & «
hanc in auem, montanam «
ſicuti virginẽ quæ in mon- «
tib. pauerat, & cantabun- «
dã, qualis itidẽ illa fuerat, «
transformant; eaq; adhuc «
iam canens iſtũ caſum indicat, quod boues quæ- «
rat à ſe abductos. Tales has oblectationes ipſis æſtiuum dabat tempus. Autumno verò adulto & vuis matureſcentib. Tyrii latrones ſumpta hemiolia (nauigii hoc genꝰ Carica) ne fortè Barbari

viderentur, agros adnauigabant, & gladiis dimidiiſque thoracibus armati egreſſi, quæcunq; ſub manus venirēt, fragrantia vina, vim magnam frumenti, mel vnà cum fauis diripiebant. Boues quoq; aliquot de Dorconis grege abegerunt, & Daphnin iuxta mare vagantem ceperunt. Chloe namq; veluti puella, metu paſtorum ferocium ſeriùs Dryantis oues educere ſolebat. Vt verò adoleſcentem magnum iuxta & elegantem piratæ viderūt, quiq; penſior, quā alia ex agris rapta, eſſet, nō amplius vllam circa capras vel reliquos agros moram curioſè ducendam rati, ipſum flentem, omniſq; inopem cōſilii, & vehementer Chloes nomē ingeminantem ad nauem traxerunt. At q; illi ora iam ſoluta & remis manib. iniectis, in altū abnauigarunt, quū Chloe iam oues educeret,

περιέχον τοῖς ἀγροῖς, καὶ ἐκβάντες σὺν μαχαίραις καὶ ἡμιθωρακίοις, κατέσυρον πάντα τὰ εἰς χεῖρας ἐλθόντα· οἶνον ἀνθοσμίαν· πυρὸν ἄφθονον· μέλι ἐν κηρίοις· ἤλασάν τινας καὶ βοῦς ἐκ τῆς Δόρκωνος ἀγέλης, λαμβάνουσι καὶ Δάφνιν περὶ τὴν θάλατταν ἀλύοντα. ἡ γὰρ Χλόη βραδύτερον ὡς κόρη τὰ πρόβατα ἐξῆγε τοῦ Δρύαντος, φόβῳ τῶν ἀγερώχων ποιμένων. ἰδόντες δὲ μειράκιον μέγα καὶ καλὸν, κρεῖττον τῆς ἐξ ἀγρῶν ἁρπαγῆς, μηκέτι μηδὲν εἰς τὰς αἶγας, μηδὲ εἰς τοὺς ἄλλους ἀγροὺς περιεργαζόμενοι, κατῆγον αὐτὸν εἰς τὴν ναῦν κλαίοντα καὶ ἠπορημένον, καὶ μέγα Χλόην καλοῦντα. καὶ οἱ μὲν, τὸ πεῖσμα ἄρτι ἀπολύσαντες, καὶ τὰς κώπας ταῖς χερσὶν ἐμβαλόντες, ἀπέπλεον εἰς τὸ πέλαγος. Χλόη δὲ κατήλαυνε τὸ ποίμνιον σύριγ-

σύριγγα καινὴν τῷ Δάφνιδι δῶρον κομίζουσα. ἰδοῦσα δὲ τὰς αἶγας τεταραγμένας, καὶ ἀκούσασα τοῦ Δάφνιδος ἀεὶ μεῖζον αὐτὴν βοῶντος, προβάτων μὲν ἀμελεῖ, καὶ τὴν σύριγγα ῥίπτει· δρόμῳ δὲ πρὸς τὸν Δόρκωνα παραγίνεται δεησομένη βοηθεῖν. ὁ δὲ ἔκειτο πληγαῖς νεανικαῖς συγκεκομμένος ὑπὸ τῶν λῃστῶν, καὶ ὀλίγον ἐμπνέων αἵματος πολλοῦ φερομένου. ἰδὼν δὲ τὴν Χλόην, καὶ ὀλίγον ἐκ τοῦ πρότερον ἔρωτος ἐμπύρευμα
„ λαβών, ἐγὼ μέν, εἶπε,
„ Χλόη τεθνήξομαι μετ'
„ ὀλίγον· οἱ γάρ με ἀσε-
„ βεῖς λῃσταὶ περὶ τῶν βοῶν
„ μαχόμενον, κατέκοψαν
„ ὡς βοῦν. σὺ δέ μοι καὶ
„ Δάφνιν σῶσον, κἀμοὶ τι-
„ μώρησον, κἀκείνους ἀπό-
„ λεσον. ἐπαίδευσα τὰς βοῦς
„ ἤχῳ σύριγγος ἀκολουθεῖν, καὶ
„ διώκειν τὸ μέλος αὐτῆς κἂν
„ νέμωνταί μοι μακράν. ἴθι

fiſtulamq; nouam Daphnidi munus adportaret. Quæ vt capellas cõſternatas vidit, & Daphnin magis magisq; ſe inclamantem audiuit, ouium ſtatim curã omnẽ abiecit, & fiſtula proiecta curriculo ad Dorconem percurrit, petitum vt ferret ſuppetias. Atqui is vulneribus atrocibus conciſus ab latronibus & paululum adhuc ſpirans, ſanguine cõfertim erumpente, iacebat proſtratus. Viſa tamẽ Chloe & exiguo prioris amoris igniculo exſuſcitato; Ego quidem, dixit, «
Chloe, iamiam mortuus «
fuero: ſacerrimi namq; la- «
trones boues me defen- «
dentem ſicuti bouem cæ- «
ciderunt. Tu verò mihi & «
Daphnin ſeruaris, & me «
vlciſcere, ſicque illos ma- «
lè perde. Adſueſeci boues «
meos fiſtulę ſequi ſonum, «
huiuſque carmen conſe- «
ctari, licet mihi deprocul «
paſcantur. Ageſis igitur f- «

„ ſtulam hanc cape, & car-
„ men illud infla, quod Da-
„ phnin ego olim, te verò
„ poſtea Daphnis docuit,
„ quodq; inde contigerit, fi-
„ ſtulæ illi & bobus quæ illic
„ detinētur curæ fuerit. Do-
„ no verò tibi & hanc ipſam
„ fiſtulam, cuius ope cōten-
„ dens multos tam bubulcos
„ quàm caprarios vici. At tu
„ me viuentē adhuc pro hi-
„ ſce oſculator, moxq; fato
„ functum lugeto, ſiq; con-
„ ſpicata fueris alium qui bo-
„ ues paſcit, mei memor e-
ſto. Et Dorco quidem his dictis ſuauioque poſtremo dato, ſimul cum ſuauio atque voce animam amiſit. Chloe autē ſumpta fiſtula labellis inſerere ipſam & ſibilare quantū poteſt: Boues ſtatim audire, & melos agnoſcere, vnoq; ſaltu, edito mugitu, in mare impetuoſè proiicere. Violento autem inſultu alterum in latus nauis facto, exque caſu boum profundo mari

δὴ λαβοῦσα τὴν σύριγ- “
γα ταύτην, ἔμπνευσον αὐ- “
τῇ μέλος ἐκεῖνο, ὃ Δά- “
φνιν ἐγώ ποτε ἐδιδαξά- “
μην, σὲ δὲ Δάφνις. τὸ δὲ “
ἐντεῦθεν τῇ σύριγγι μελή- “
σει, καὶ τῶν βοῶν ταῖς ἐκεῖ. “
χαρίζομαι δὲ καὶ τὴν σύ- “
ριγγα αὐτήν, ᾗ πολλοὺς ἐ- “
ρίζων καὶ βουκόλους ἐνίκη- “
σα καὶ αἰπόλους. σὺ δὲ αἰ- “
τὶ τούτων, καὶ ζῶντα ἔτι “
φίλησον, καὶ ἀποθανόντα “
κλαῦσον· κἂν ἴδῃς ἄλλον “
νέμοντα τὰς βοῦς, ἐμοῦ “
μνημόνευσον. Δόρκων μὲν τοσαῦτα εἰπὼν καὶ φίλημα φιλήσας ὕστατον, ἀφῆκεν ἅμα καὶ τῷ φιλήματι καὶ τῇ φωνῇ τὴν ψυχήν: ἡ δὲ Χλόη λαβοῦσα τὴν σύριγγα, καὶ ἐνθεῖσα τοῖς χείλεσιν, ἐσύριζε μέγιστον ὡς ἐδύνατο· καὶ αἱ βόες ἀκούουσι, καὶ τὸ μέλος γνωρίζουσι, καὶ ὁρμῇ μιᾷ μυκησάμεναι, πηδῶσιν εἰς τὴν θάλατταν. βιαίου δὲ πηδήματος εἰς ἕνα τοῖχον τῆς νεὼς γενομένου, καὶ ἐκ τῆς ἐμπτώσεως τῶν βοῶν κοίλης

κοίλης τῆς θαλάττης διαστάσης, στρέφεται μὲν ἡ ναῦς, καὶ τοῦ κλύδωνος συνιόντος, ἀπόλλυται. οἱ δὲ ἐκπίπτουσιν οὐχ ὁμοίαν ἔχοντες ἐλπίδα σωτηρίας. οἱ μὲν γὰρ λῃσταὶ τὰς μαχαίρας παρήρτηντο, καὶ τὰ ἡμιθωράκια λεπιδωτὰ ἐνεδέδυντο, καὶ κνημῖδας εἰς μέσην κνήμην ὑπεδέδεντο. ὁ δὲ Δάφνις, ἀνυπόδητος ὡς ἐν πεδίῳ νέμων, καὶ ἡμίγυμνος ὡς ἔτι τῆς ὥρας οὔσης καύματος. ἐκείνους μὲν οὖν ἐπ' ὀλίγον νηξαμένους τὰ ὅπλα κατήνεγκεν εἰς βυθόν· ὁ δὲ Δάφνις τὴν μὲν ἐσθῆτα ῥᾳδίως ἀπεδύετο, περὶ δὲ τὴν νῆξιν ἔκαμνεν, οἷα πρότερον νηχόμενος ἐν ποταμοῖς μόνοις. ὕστερον δὲ παρὰ τῆς ἀνάγκης τὸ πρακτέον διδαχθείς, εἰς μέσας ὥρμησε τὰς βοῦς, καὶ δύο βοῶν δύο κεράτων ταῖς δύο χερσὶ λαβόμενος, ἐκομίζετο μέσος ἀλύπως καὶ ἀπό-

dehiſcente, nauis vertitur, & fluctu concurſante, it peſſum, quiq; in ea excidunt, impari tamen ſpe ſalutis. Latrones etenim gladiis accincti, & ſemithoracibus induti ſquammatis, ocreiſq; ad media crura vſque calceati erāt. Daphnis autem diſcalceatus, qualis in campo paſcere ſolebat, atque ſeminudus, vtpote quum adhuc æſtiui ardores ferueſcerent. Quapropter illos poſtquam pauliſper nataſſent, in imum fundum arma detulerunt. Daphnis contrà veſtem facilè exuebat, in natando tamen non parum laborabat, quippe antea in fluuiis tantum nare ſolitus. Tandem verò ab neceſſitate quid faciendum eſſet edoctus, in medios boues irruit, & duorum boum alterutris cornibus vtraque manu adprehenſis, abſque moleſtia & abſque labore intermedius fere-

batur, veluti currum age-
» ret. Natat autem in tantũ
» bos, in quantum neq; ho-
» mo vnquam queat, & tan-
» tum in nando ab aquatili-
» bus auibus, ipſiſq; piſcibus
» vincitur: neq; vtique bos
» natando perierit, niſi ipſi
» vngularum vngues peni-
» tus humore emoliti circũ-
» decidant. Teſtimonium
» præbent dicto ad hoc vſ-
» que tempus plurimi maris
» loci, qui Bouis traiect⁹ ad-
pellãtur. Seruatus fuit ſanè hoc modo Daphnis, duo pericula præter ſpem omnem effugiendo, latrocinium atq; naufragium. Egreſſus autem Chloen in terra ridentẽ ſimul ſimulque plorantem inuenit, inque eius gremium cadit, & quid ſibi ſibilo iſto edito voluerit, percunctatur. Ipſa itaq; illi omnia enarrat, vt ad Dorconem currere cœperit, boum inſueſactionem, quomodo exſibilare iuſſa fuerit, quodque diem ſuum

νως, ὥσπερ ἐλαύνων ἅμαξαν. νήχεται δὲ ἄρα βοῦς ὅσον οὐδὲ ἄνθρωπος· μόνον λείπεται τῶν ἐνύδρων ὀρνίθων, καὶ αὐτῶν ἰχθύων. οὐδ' ἂν ἀπόλοιτο βοῦς νηχόμενος, εἰ μὴ τῶν χηλῶν οἱ ὄνυχες περιπέσοιεν διάβροχοι γινόμενοι. μαρτυροῦσι τῷ λόγῳ μέχρι νῦν πολλοὶ τόποι τῆς θαλάσσης Βοὸς πόροι λεγόμενοι. ἐκσώζεται μὲν δὴ τοῦτον τὸν τρόπον ὁ Δάφνις, δύο κινδύνους παρ' ἐλπίδα πᾶσαν διαφυγών, λῃστηρίου καὶ ναυαγίου. ἐξελθὼν δέ, καὶ τὴν Χλόην ἐπὶ τῆς γῆς γελῶσαν ἅμα καὶ δακρύουσαν εὑρών, ἐμπίπτει τε αὐτῆς τοῖς κόλποις, καὶ ἐπυνθάνετο, τί βουλομένη συρίσειεν; ἡ δὲ αὐτῷ διηγεῖται πάντα τὸν δρόμον τὸν ἐπὶ τὸν Δόρκωνα· τὸ παίδευμα τῶν βοῶν· πῶς κελευσθείη συρίσαι· καὶ ἔτι τί-

θησι

θνήκει Δόρκων, μόνον αἰ-
δεσθεῖσα τὸ φίλημα οὐκ
εἶπεν. ἔδοξε δὴ τιμῆσαι
» τὸν εὐεργέτην, καὶ ἐλθόν-
τες μετὰ τῶν προσηκόν-
των, Δόρκωνα θάπτουσι
τὸν ἄθλιον. γῆν μὲν οὖν
πολλὴν ἐπέθεσαν, φυτὰ δὲ
ἥμερα πολλὰ ἐφύτευσαν,
καὶ ἐξήρτησαν αὐτῷ τῶν
ἔργων ἀπαρχήν· ἀλλὰ καὶ
γάλα κατέσπεισαν, καὶ
βότρυας κατέθλιψαν, καὶ
σύριγγας πολλὰς κατέ-
κλασαν· ἠκούσθη καὶ τῶν
» βοῶν ἐλεεινὰ μυκήματα,
» καὶ δρόμοι τινὲς ὤφθη-
» σαν ἅμα τοῖς μυκήμα-
» σιν ἄτακτοι, καὶ ὡς ἐν
» ποιμέσιν εἰκάζετο καὶ αἰ-
» πόλοις ταῦτα. θρῆνος ἦν
» τῶν βοῶν ἐπὶ βουκόλῳ
» τετελευτηκότι. Μετὰ τὸν
τοῦ Δόρκωνος τάφον, λούει
τὸν Δάφνιν ἡ Χλόη πρὸς
τὰς Νύμφας ἀγαγοῦσα,
εἰς τὸ ἄντρον εἰσαγαγοῦ-
σα, καὶ αὐτὴ τότε πρῶτον
Δάφνιδος ὁρῶντος, ἐλού-
σατο τὸ σῶμα, λευκὸν καὶ

Dorco obierit; oſculũ ſo-
lum pudore præpedita nõ
dixit. Placuit tũ benè me- «
ritum honore proſequi,
venienteſq; cum ipſius ne-
ceſſariis infelicem Dorco-
nem ſepeliunt. Terram ni-
mirum multam iniecerũt,
& plãtas ſatiuas magna co-
pia illic plantauerunt, ipſi-
que operum primitias ſuſ-
penderunt. Ad hoc & lac
libarunt, vuas compreſſe-
rũt, & fiſtulas paſtoritias a-
liquãmultas confregerunt.
Auditi fuere & boum mu- «
gitus miſerabiles, curſatio- «
neſq; quædam incompoſi- «
tæ ſimul cum mugitib. ſunt «
conſpectæ, & ceu inter pa- «
ſtores & caprarios iſta agi- «
tabantur. Lamẽtatio quæ- «
dam boum ſuper bubulco «
defuncto erat. Dorconis
ſepultura peracta Chloe
Daphnin ad Nymphas du-
ctũ, inq; antrum introdu-
ctum abluit, ipſaque ſimul
tunc primũ Daphnide in-
ſpectãte corpus lauit, can-

didum & mundũ iam antea ob eximium formę decus, nilque lauacrorum ad pulchritudinem indigens: mox floribus collectis, qui quidem tum temporis uirebant, ſtatuas coronarũt, & Dorconis fiſtulã in petra donarium adpenderũt. Deinde abeuntes, quid capræ, quid oues agerent, reuiſebant, quæ omnes iacebant, & nec paſtum curabant, nec balatum emittebant, ſed Daphnin, puto & Chloen ab conſpectu remotos deſiderabant. Quũ igitur, viſo hoc, tum ſolitũ inclamaſſent, tum ſibilum ſuſtuliſſent, illæ continuò exſurgere & paſcere cœperunt; capellæ autem fremebundæ ſalierunt, veluti ob ſalutem caprarii familiaris lætæ. Attamen Daphnis vt gauderet animum inducere nõ poterat, quod Chloen nudam, illamque prius latentem formæ Venerẽ detectã vidiſſet: quin

καθαρὸν ὑπὸ κάλλους, καὶ οὐδὲ λουτρῶν ἐς κάλλος δεόμενον. καὶ ἄνθη τε συλλέξαντες ὅσα ἄνθη τῆς ὥρας ἐκείνης, ἐστεφάνωσαν τὰ ἀγάλματα, καὶ τὴν τοῦ Δόρκωνος σύριγγα, τῆς πέτρας ἐξήρτησαν ἀνάθημα. καὶ μετὰ τοῦτο ελθόντες, επεσκόπουν τὰς αἶγας καὶ τὰ πρόβατα. τὰ δὲ πάντα κατέκειτο, μήτε νεμόμενα, μήτε βληχώμενα· ἀλλ' οἶμαι τὸν Δάφνιν καὶ τὴν Χλόην ἀφανεῖς ὄντας ποθοῦντα. ἐπειδὴ γοῦν ὀφθέντες καὶ ἐβόησαν τὸ σύνηθες καὶ ἐσύριξαν, τὰ μὲν ἀναστάντα ἐνέμετο· αἱ δὲ αἶγες ἐσκίρτων φριμασσόμεναι, καθάπερ ἡδόμεναι σωτηρίᾳ συνήθους αἰπόλου. οὐ μὴν ὁ Δάφνις χαίρειν ἔπειθε τὴν ψυχὴν, ἰδὼν τὴν Χλόην γυμνὴν, καὶ τὸ πρότερον λανθάνον κάλλος ἐκκεκαλυμμένον, ἤλγει τὴν

τὴν καρδίαν ὡς ἐσθιομένην ὑπὸ φαρμάκων, καὶ αὐτὸ τὸ πνεῦμά ποτε μὲν λάβρον ἐξέπνει, καθάπερ τινὸς διώκοντος αὐτόν· ποτὲ δὲ ἐπέλιπε, καθάπερ ἐκδαπανηθὲν ἐν ταῖς προτέραις ἐπιδρομαῖς. ἐδόκει τὸ λουτρὸν εἶναι τῆς θαλάσσης φοβερώτερον· ἐνόμιζε τὴν ψυχὴν ἔτι παρὰ τοῖς λῃσταῖς μένειν, οἷα νέος ἄγροικος καὶ ἔτι ἀγνοῶν τὸ » ἔρωτος λῃστήριον.

corde, quod quaſi à venenis exedebatur, doloré altũ ſentiebat, & ipſum ſpiritum interdum confertim quaſi quis ſe perſequeretur efflabat, quandoque verò deficiebat, veluti in priori curſura eo inſũptò. Videbatur lauatio mari ipſo magis eſſe formidáda, & arbitrabatur animũ adhuc inter latrones agere, quippe qui adoleſcens agreſtis, latrociniiq; amoris « adhuc eſſet ignarus.

didum & mundũ iam antea ob eximium formę decus, nilque lauacrorum ad pulchritudinem indigens: mox floribus collectis, qui quidem tum temporis uirebant, ſtatuas coronarũt, & Dorconis fiſtulã in petra donarium adpenderũt. Deinde abeuntes, quid capræ, quid oues agerent, reuiſebant, quæ omnes iacebant, & nec paſtum curabant, nec balatum emittebant, ſed Daphnin, puto & Chloen ab conſpectu remotos deſiderabant. Quũ igitur, viſo hoc, tum ſolitũ inclamaſſent, tum ſibilum ſuſtuliſſent, illæ continuò exſurgere & paſcere cœperunt; capellæ autem fremebundæ ſalierunt, veluti ob ſalutem caprarii familiaris lætæ. Attamen Daphnis vt gauderet animum inducere nõ poterat, quod Chloen nudam, illamque prius latentem formæ Venerẽ detectã vidiſſet: quin

καθαρὸν ὑπὸ κάλλους, καὶ οὐδὲ λουτρῶν ἐς κάλλος δεόμενον. καὶ ἄνθη τε συλλέξαντες ὅσα ἄνθη τῆς ὥρας ἐκείνης, ἐστεφάνωσαν τὰ ἀγάλματα, καὶ τὴν τοῦ Δόρκωνος σύριγγα, τῆς πέτρας ἐξήρτησαν ἀνάθημα. καὶ μετὰ τοῦτο ἐλθόντες, ἐπεσκόπουν τὰς αἶγας καὶ τὰ πρόβατα, τὰ δὲ πάντα κατέκειτο, μήτε νεμόμενα, μήτε βληχώμενα· ἀλλ' οἶμαι τὸν Δάφνιν καὶ τὴν Χλόην ἀφανεῖς ὄντας ποθοῦντα. ἐπειδὴ γοῦν ὀφθέντες καὶ ἐβόησαν τὸ σύνηθες καὶ ἐσύρισαν, τὰ μὲν ἀναστάντα ἐνέμετο· αἱ δὲ αἶγες ἐσκίρτων φριμασσόμεναι, καθάπερ ἡδόμεναι σωτηρίᾳ συνήθους αἰπόλου. οὐ μὴν ὁ Δάφνις χαίρειν ἔπειθε τὴν ψυχὴν, ἰδὼν τὴν Χλόην γυμνὴν, καὶ τὸ πρότερον λανθάνον κάλλος ἐκκεκαλυμμένον, ἤλγει τὴν

τὴν καρδίαν ὡς ἐσθιομένην ὑπὸ φαρμάκων, καὶ αὐτὸ τὸ πνεῦμά ποτε μὲν λάβρον ἐξέπνει, καθάπερ τινὸς διώκοντος αὐτόν· ποτὲ δὲ ἐπέλιπε, καθάπερ ἐκδαπανηθὲν ἐν ταῖς προτέραις ἐπιδρομαῖς. ἐδόκει τὸ λουτρὸν εἶναι τῆς θαλάσσης φοβερώτερον· ἐνόμιζε τὴν ψυχὴν ἔτι παρὰ τοῖς λῃσταῖς μένειν, οἷα νέος ἄγροικος καὶ ἔτι ἀγνοῶν τὸ
» ἔρωτος λῃστήριον.

corde, quod quaſi à venenis exedebatur, doloré altũ ſentiebat, & ipſum ſpiritum interdum confertim quaſi quis ſe perſequeretur efflabat, quandoque verò deficiebat, veluti in priori curſura eo inſũptò. Videbatur lauatio mari ipſo magis eſſe formidãda, & arbitrabatur animũ adhuc inter latrones agere, quippe qui adoleſcens agreſtis, latrociniiq; amoris «
adhuc eſſet ignarus.

SVMMARIVM LIBRI ſecundi.

Vindemia celebratur. Poſt ad paſtũ redeunt Daphnis & Chloe. Superuenit ipſis Philetas bubulcus, deque Cupidine & amore ſermonem habet longum. Amor inter ipſos creſcit. Interim Methymnæi iuuenes ſui oblectandi veniunt in agros Mitylenæos, & venatui, aucupio, & aliis voluptatib. indulgent. Nauem, amiſſo rudente, vimine alligãt litori. Vimen rodit capella. Nauis plena argẽti & opum venti vi abripitur. Methymnæi irati autorem inquirunt, & nacti Daphnin malè multant. Aduolant ruſticani ad opem ferendam. Philetas conſtituitur iudex. Accuſat Methymnæ[illegible]. Reſpondet Daphnis. Datur lis ſecundum Daphnin. Vi agentes tum Methymnæi à ruſticis accepti fuſtib. ſe in fugam dant. Reueniunt domum, publicè de iniuria illata (falsò re expoſita) conqueruntur. Methymnæi ſtatim Bryaxin ſtrategum cum decem nauibus mouere iubent contra Mitylenenſes omnium inſcios. Agunt, ferũt obuia quæq; Chloen ſimul, & celeriter abnauigant. Daphnis, hoc cognito, mori vult. Eum ſolantur Nymphæ. Pan immittit terrorem (qui graphicè deſcribitur) Methymnæis, & ducem eorum in ſomnis monet, reducat ſtatim Chloen. Paret dux, & ſic ad Daphnin lætum læta illa reuertitur. Agitant ferias Pani, aduenitq; Philetas. Lamo narrat fabulam de fiſtula. Philetas fiſtulam ſuam artificioſiſſimam dono dat Daphnidi. Daphnis & Chloe inter ſe amatorium iuramentum coniurant.

LONGI

ΛΟΓΓΟΥ ΣΟΦΙΣΤΟΥ ποιμανικῶν

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Ἤδη δὲ τῆς ὀπώρας ἀκμαζούσης, καὶ ἐπειγόντος τοῦ τρυγητοῦ, πᾶς ἦν κατὰ τοὺς ἀγροὺς ἐν ἔργῳ· ὁ μὲν, ληνοὺς ἐπεσκεύαζεν· ὁ δὲ, πίθους ἐξεκάθαιρεν· ὁ δὲ, ἀῤῥίχους ἔπλεκεν· ἔμελέ τινι δρεπάνης μικρᾶς ἐς βότρυος τομὴν· καὶ ἑτέρῳ, λίθου, θλίψαι τὰ ἔνοινα τῶν βοτρύων δυναμένου· καὶ ἄλλῳ, λύγου ξηρᾶς πληγαῖς κατεξασμένης, ὡς ἂν ὑπὸ φωτὶ νύκτωρ τὸ γλεῦκος φέροιτο. ἀμελήσαντες οὖν καὶ ὁ Δάφνις καὶ ἡ Χλόη τῶν προβάτων καὶ τῶν αἰγῶν, χειρὸς ὠφέλειαν

LONGI SOPHISTÆ Paſtoralium

LIBER SECVNDUS.

AVTVMNO iam adulto, vrgenteque vindemia, vnuſquiſque per agros in opere eſſe: alius torcularia reparare: alius dolia extergere: alius contexere corbulas. Erat qui ſibi falculã ad racemi capturam procurabat: erat qui lapidem aptum ad preſſanda vinacea: & alius, vt bacillus aridus bene dedolatus ad manus ſibi eſſet prouidebat; quo ſcilicet prælucente lumine tempore nocturno muſtum ferre poſſet. Quapropter Daphnis & Chloe quoque ouibus tunc & capellis inſuper habitis manuũ operas in-

ter ſe mutuas tradidere. Daphnis nempe in corbib. portabat vuas, eaſq; lacubus iniectas calcabat, indeque in dolia vinum inferebat. Chloe auté cibũ vindemiatorib. parabat, potumq; iiſdem miſcebat vinum vetuſtius, atq; ex humiliorib. vitibus vuas colligebat. ,, Omne namq; circa Leſbũ vitium genus iacet, vite non erecta, neq; arbuſtiua, (quæ arbores ſcandere ſolet) ſed deorſũ palmites protendit, adinſtarq; hederæ ſerpit, & vel infans vtiq;, cui modo manus à faſciis laxatæ ſint, racemũ poterit attingere. Vt igitur ſolet in feſto Bacchi. & vini natalib. mulierculæ ex propinquis agris aduocatæ, vt rem ſua opera adiuuarent, illæ Daphnidi oculos adiiciebât, laudibuſque quaſi pulchritudine Baccho parem celebrabát. Quin & audaciorum nonnulla oſculũ ipſi oggerere auſa fuit; quæ res ſicuti

ἀλλήλοις μετεδίδοσαν· ὁ μὲν ἐβάσταζεν ἐν ἀῤῥίχοις βότρυς, καὶ ἐπάτει ταῖς ληνοῖς ἐμβάλλων, καὶ εἰς τοὺς πίθους ἔφερε τὸν οἶνον· ἡ δὲ τροφὴν παρεσκεύαζε τοῖς τρυγῶσι, καὶ ἐνέχει ποτὸν αὐτοῖς πρεσβύτερον οἶνον, καὶ τῶν ἀμπέλων τὰς ταπεινοτέρας ἀπετρύγα. « πᾶσα γὰρ κατὰ τὴν Λέσβον ἡ ἄμπελος ταπεινὴ, οὐ μετέωρος, οὐδὲ ἀναδενδράς· ἀλλὰ κάτω τὰ κλήματα ἀποτείνουσα, καὶ ὥσπερ κιττὸς νεμομένη· καὶ παῖς ἂν ἀφίκοιτο βότρυος ἄρτι τὰς χεῖρας ἐκ σπαργάνων λελυμένος. « οἷον οὖν εἰκὸς ἐν ἑορτῇ Διονύσου, καὶ οἴνου γενέσει· αἱ μὲν γυναῖκες ἐκ τῶν πλησίον ἀγρῶν εἰς ἐπικουρίαν κεκλημέναι, τῷ Δάφνιδι τοὺς ὀφθαλμοὺς ἐπέβαλλον, καὶ ἐπῄνουν ὡς ὅμοιον τῷ Διονύσῳ τὸ κάλλος. καί τις τῶν θρασυτέρων καὶ ἐφίλησε, καὶ τὸν Δά-

Daphnin

φυιν παρώξυνε, τὴν δὲ Χλόην ἐλύπησεν. οἱ δὲ ἐν ταῖς ληνοῖς, ποικίλας φωνὰς ἔρριπτον ἐπὶ τὴν Χλόην, καὶ ὥσπερ ἐπί τινα Βάκχην Σάτυροι μανικώτερον ἐπῄδων, καὶ ηὔχοντο γενέσθαι ποίμνια, καὶ ὑπ' ἐκείνης νέμεσθαι. ὥστε αὖ πάλιν, ἡ μὲν ἥδετο· Δάφνις δὲ ἐλυπεῖτο. εὔχοντο δὲ δὴ ταχέως παύσασθαι τὸν τρυγητὸν καὶ λαβέσθαι τῶν συνήθων χωρίων, καὶ ἀντὶ τῆς ἀμούσου βοῆς, ἀκούειν σύριγγος, ἢ τῶν ποιμνίων αὐτῶν βληχωμένων. καὶ ἐπεὶ διαγενομένων ὀλίγων ἡμερῶν, αἱ μὲν ἄμπελοι τετρύγηντο, πίθοι δὲ τὸ γλεῦκος εἶχον· ἔδει δὲ οὐκέτι οὐδὲν πολυχειρίας, κατήλαυνον τὰς ἀγέλας εἰς τὸ πεδίον· καὶ μάλα χαίροντες, τὰς Νύμφας προσεκύνουν βότρυς αὐτοῖς κομίζοντες ἐπὶ κλημάτων, ἀπαρχὰς τοῦ τρυγητοῦ. οὐδὲ τὴν

Daphnin inflammauit, ita ſanè Chloæ fuit dolori. Qui autem in calcatoriis erant, illi varias voces in Chloen iactabant, & non ſecus ac ſuper aliqua Baccha Satyri inſaniorem in modum cantabant: eratq; illis in votis oues fieri, atq; ductu puellæ paſci. Itaque fiebat vt viciſſim ipſa quidem voluptatem caperet; Daphnis cōtrà dolore pūgeretur. Proinde exoptabant vt finem vindemia quamprimū acciperet, quo ipſi agros conſuetos repetere, proq; iſthac inſubida vociferatione fiſtulam, aut greges ſuos balabūdos audire poſſent. Et quoniam paucis pòſt dieb. vuæ quidē vindemiatæ eſſent; dolia verò muſtū iam recepiſſent, nihilq; præterea eſſet quod manuū plurium operam depoſceret: ibi rurſus greges in campū depulerunt, & perquā lætabundi Nymphas adorauerūt, racemos ipſis in palmitibus vindemiæ primitias, adportantes. Neq;

Digitized by Google

verò priori tempore negligenter vnquã prætergredi ſolebant Nymphas; ſed ſemper vtiq; quum paſtum exirent, adſidebant, quum ex paſtione redirent eaſdẽ venerabantur, & omnino aliquid, vel floſculum vel pomum, vel vireſcentium foliorum cumulum, vel lactis libamen adferebant.
» Atq; huius quidem pietatis poſteà non certè nullã gratiam à Deabus retulerunt: tunc autem quaſi canes, quod aiũt, vinculis ſoluti, ſaltabundi laſciuiebãt, fiſtula ludebant, canebant hircis, ouibuſq; colluctabãtur. Dum ſe ita oblectãt, ſuperuenit ſenex, indutus ſiſyris vel penulâ ſcortea, carbatinis (ruſtici calceamenti hoc genus) calceatus, peram gerens adpenſam, & peram eam veterẽ. Hic ad ipſos quum ſediſſet,
» talia dixit: Philetas, ô pueri, ſenex ego ille ſum; qui ſæpe hiſce Nymphis cecini; qui ſæpe Pani illi fiſtula

πρότερον χρόνον ἀμελῶς οὔποτε παρῆλθον· ἀλλ' ἀεί τε ἀρχόμενοι νομῆς προσηύχοντο, καὶ ἐκ νομῆς ἀνιόντες, προσεκύνουν· καὶ πάντως τι ἀπέφερον, ἢ ἄνθος ἢ ὀπώραν, ἢ φυλλάδα χλωράν, ἢ γάλακτος σπονδήν. « καὶ τούτου μὲν ὕστερον ἀμοιβὰς ἐκομίσαντο παρὰ τῶν θεῶν. τότε δὲ κύνες, φασίν, ἐκ δεσμῶν λυθέντες ἐσκίρτων, ἐσύριττον, ᾖδον τοῖς τράγοις καὶ τοῖς προβάτοις συνεπάλαιον, τερπομένοις δὲ αὐτοῖς, ἐφίσταται πρεσβύτης σισύρας ἐνδεδυμένος, καρβατίνας ὑποδεδεμένος, πήραν ἐξηρτημένος, καὶ τὴν πήραν παλαιάν. οὗτος πλησίον καθίσας αὐτῶν, ὧδε εἶπε· « Φιλητᾶς, ὦ παῖδες, ὁ πρεσβύτης ἐγώ· ὃς πολλὰ μὲν ταῖσδε ταῖς Νύμφαις ᾖσα· πολλὰ δὲ τῷ Πανὶ ἐκείνῳ

,, ἐσύρισα· βοῶν δὲ πολλῆς
,, ἀγέλης ἡγησάμην μόνῃ
,, μουσικῇ· ἥκω δὲ ὑμῖν εἶδον
,, μηνύσων, ὅσα ἤκουσα ἀπαγ-
,, γελῶν. κῆπός ἐστί μοι τῶν ἐ-
,, μῶν χειρῶν, ὃν, ἐξ οὗ νέμειν
,, διὰ γῆρας ἐπαυσάμην,
,, ἐξεπονησάμην, ὅσα ὧ-
,, ραι φέρουσι, πάντα ἔχων
,, ἐν αὐτῷ καθ' ὥραν ἑκά-
,, στην. ἦρος ῥόδα, κρίνα,
,, καὶ ὑάκινθος, καὶ ἴα ἀμ-
,, φότερα: θέρους, μήκω-
,, νες, καὶ ἀχράδες, καὶ
,, μῆλα πάντα: νῦν, ἄμ-
,, πελοι, καὶ συκαῖ, καὶ ῥοιαί,
,, καὶ μύρτα χλωρά. εἰς
,, τοῦτον τὸν κῆπον ὀρνίθων
,, ἀγέλαι συνέρχονται τὸ
,, ἑωθινόν· τῶν μὲν ἐς τρο-
,, φήν, τῶνδε, ἐς ᾠδήν.
,, συνηρεφὴς γὰρ καὶ κατά-
,, σκιος, καὶ πηγαῖς τρισὶ
,, κατάρρυτος· ἂν περιέλῃ τις
,, τὴν αἱμασιάν, ἄλσος ὁ-
,, ρᾶν οἰήσεται. εἰσελθόντι
,, δέ μοι τήμερον ἀμφὶ μέ-
,, σην ἡμέραν, ὑπὸ ταῖς

ſtula ſum modulatus : & "
qui duxi magna boum ar- "
menta ſolo canendi artifi- "
cio. Venio autem quæ vidi "
vobis indicatũ : quæq; au- "
diui, annunciatũ. Hortus "
eſt mihi meis manib. atq; "
labore factus, quẽ ex quo "
paſcere armenta ob ſene- "
ctutem deſtiti, cœpi exco- "
lere; quæcunq; anni tem- "
pora ferunt, ea omnia in il- "
lo inueniens vnoquoque "
tempore. Vere quidem ibi "
roſę, lilia & hyacinth⁹, vio- "
larumq; ambæ formæ : Æ- "
ſtate, papauera, & pira, po- "
morũq; omne genus. Hoc "
autem tempore autumna- "
li, vites, ficus, malaq; puni- "
ca, & virides myrti. Hunc "
in hortũ auium greges ma- "
tutino tempore, pars pa- "
ſcendi, pars canendi gratia "
coeunt. Opacus namq; eſt "
& vmbroſus, fontibuſque "
ternis irriguus. Si circũ ali- "
quis maceriam ſuſtulerit, "
,, nemus ſe videre putabit. Ingredienti verò mihi "
,, hodiernodie circiter meridiem, ſub malis punicis "

,, & myrtis cõſpicitur puellus myrta & poma punicea tenens, vt lac candidus, & rutilus ſicut ignis, nitiduſq; quaſi qui modò lautus eſſet. Nudus erat, ſolus erat, laſciuiebat non ſecus ac ſi ſuum hortum carperet. Eapropter quidem impetum in eum feci prehendere volens. Metuebam enim, ne iſthac proteruia myrtos, maloſq; punicas mihi confringeret. At ipſe leuiter & facile meas manus effugiebat, nunc ſub roſeta currendo, nunc papaueribus ſe occultando, perinde quaſi perdicis quidam pullus. Sanè ſæpiuſculè fui exercitus ſectando hœdulos lactentes: ſæpiuſculè etiam defeſſus fui curſu vitulos recentes perſequendo. At hoc varium erat quoddam negocium, & quod prehendi non poterat. Fatigatus igitur vti ſenex, baculoq; innixus, & ſimul cauẽs ne aufugeret percunctabar: cuiuſnam è vicinis

ῥοιαῖς καὶ ταῖς μυῤῥίναις, βλέπεται παῖς μύρτα καὶ ῥοιὰς ἔχων, λευκὸς ὥσπερ γάλα, καὶ ξανθὸς ὡς πῦρ, στιλπνὸς ὡς ἄρτι λελουμένος· γυμνὸς ἦν· μόνος ἦν· ἔπαιζεν ὡς ἴδιον κῆπον τρυγῶν. ἐγὼ μὲν οὖν ὥρμησα ἐπ' αὐτὸν ὡς συλληψόμενος, δείσας μὴ ὑπ' ἀγερωχίας τὰς μυῤῥίνας καὶ τὰς ῥοιὰς κατακλάσῃ· ὁ δέ με κούφως καὶ ῥαδίως ὑπέφευγε, ποτὲ μὲν ταῖς ῥοδωνιαῖς ὑποτρέχων, ποτὲ δὲ ταῖς μήκωσιν ὑποκρυπτόμενος, ὥσπερ πέρδικος νεοττός. καίτοι πολλάκις μὲν πρᾶγμα ἔσχον ἐρίφους γαλαθηνοὺς διώκων· πολλάκις δὲ ἔκαμον μεταθέων μόσχους ἀρτιγεννήτους. ἀλλὰ τοῦτο ποικίλον τι χρῆμα ἦν καὶ ἀθήρατον. καμὼν οὖν ὡς γέρων, καὶ ἐπερεισάμενος τῇ βακτηρίᾳ, καὶ ἅμα φυλάττων μὴ φύγῃ, ἐπυνθανόμην, τίνος

ὅτου τῶν γειτόνων; καὶ τί βουλόμενος ἀλλότριον κῆπον τρυγᾷ; ὁ δὲ ἀπεκρίνατο μὲν οὐδὲν, στὰς δὲ πλησίον ἐγέλα πάνυ ἁπαλὸν, καὶ ἔβαλλέ με τοῖς μύρτοις, καὶ οὐκ οἶδ' ὅπως ἔθελγε μηκέτι θυμοῦσθαι. ἐδεόμην οὖν εἰς χεῖρας ἐλθεῖν μηδὲν φοβούμενον ἔτι, καὶ ὤμνυον κατὰ τῶν μύρτων ἀφήσειν, ἐπιδοὺς μήλων καὶ ῥοιῶν παρέξειν τε ἀεὶ τρυγᾶν τὰ φυτὰ καὶ δρέπειν τὰ ἄνθη, τυχὼν παρ' αὐτοῦ φιλήματος ἑνός. ἐνταῦθα πάνυ καπυρὸν γελάσας, ἀφίησι φωνὴν οἵαν οὔτε χελιδὼν, οὔτε ἀηδὼν, οὔτε κύκνος, ὅμοιος ἐμοὶ γέρων γενόμενος. Ἐμοὶ μὲν ὦ Φιλητᾶ, φιλῆσαί σε φθόνος οὐδείς. βούλομαι γὰρ φιλεῖσθαι μᾶλλον, ἢ σὺ γενέσθαι νέος. ὅρα δὲ εἴ σοι καθ' ἡλικίαν τὸ δῶρον.

è vicinis eſſet; Et quid ſibi vellet, quod alienum hortum ita decerperet. Ille verò reſpondit haud quidquam; ſed deprope ſtans molles perquàm edebat riſus, & me myrti baccis petebat, neſcioq; quomodo permulcebat, vt omnes adeò iras ponerem. Rogitabã itaq; vt in manus meas venire, nec ſibi præterea vllo modo timere vellet, & iuſiurandum dabam per myrtos, me eum dimiſſurũ non ſolùm donatũ pomis & malis granatis, ſed inſuper etiam copiã ei me facturũ, ſemper pro lubitu tam plãtas deuellendi, quã flores decerpendi, ſi modo nactus eſſem ab eo vnicum oſculum. Hic alto omnino ſublato cachinno riſit, vocemq; qualẽ neq; hirundo, luſcinia, vel olor ſolet, emiſit, in ſimilẽ mihi ſenẽ mutatus: Mihi quidẽ, (ait) Phileta, tibi oſculũ largiri nulla eſt moleſtia. Magis nãq; mihi volupè eſt oſculari aliquẽ, quàm tibi iterũ iuuentutẽ cõſequi. Videſis verò, an ex ætatis tuæ viſu ſit hoc munus.

,, Nihil namque te ſenectus
,, iuuabit, quominus tu me,
,, poſtquam vnicum oſculū
,, acceperis, pſequi incipias.
,, Nō verò queo capi ego ne
,, quidem ſi accipiter, vel a-
,, quila, ſiq; alia his pernicior
,, eſt ales, me inſequatur.
,, Neutiquam verò puellus
,, ego ſum, etſi videor talis,
,, ſed Saturno antiquior, &
,, illo ipſo huius vniuerſi tē-
,, poris interuallo. Ac noram
,, te iam quū primos puber-
,, tatis annos nondum egreſ-
,, ſus in illo paluſtri loco ma-
,, gnum armentorū gregem
,, paſceres: aderamque tibi,
,, quum fiſtula apud fagos i-
,, ſtas caneres ob amorē A-
,, marillidis, quā deperibas.
,, Tu verò me nullus vide-
,, bas, licet propè admodum
,, iuxta puellam adſtarē. Et
,, tibi quidē illam dedi, iam-
,, que filios egregios bubul-
,, cos & agricolas ex illa ſuſcepiſti. Nunc Daphnidis
,, curam & Chloes gero, illoſq; quando quaſi pa-
,, ſtor greges in vnum compellere atque mutuò
,, coniungere matutino tempore ſoleo, in tuum
venio

οὐδὲν γάρ σε ὠφελήσει τὸ ‹‹
γῆρας πρὸς τὸ μὴ διώ- ‹‹
κειν ἐμὲ μετὰ τὸ ἓν φί- ‹‹
λημα. δυσθήρατος ἐγὼ εἰμι ‹‹
ἱέρακι καὶ ἀετῷ, καὶ ‹‹
εἴ τις ἄλλος, τούτων ὠκύ- ‹‹
τερος, ὄρνις. οὔ τοι παῖς ‹‹
ἐγὼ, καὶ εἰ δοκῶ παῖς, ‹‹
ἀλλὰ τοῦ Κρόνου πρε- ‹‹
σβύτερος, καὶ αὐτοῦ τοῦ ‹‹
παντὸς χρόνου. καί σε οἶ- ‹‹
δα νέμοντα πρώθηβον ἐν ‹‹
ἐκείνῳ τῷ ἕλει τὸ πλα- ‹‹
τὺ βουκόλιον, καὶ παρή- ‹‹
μην σοι συρίττοντι πρὸς ‹‹
ταῖς φηγοῖς ἐκείναις ἡνί- ‹‹
κα ἤρας Ἀμαρυλλίδος. ‹‹
ἀλλά με οὐχ ἑώρας, καί- ‹‹
τοι πλησίον μάλα τῇ κό- ‹‹
ρῃ παρεστῶτα· σοὶ μὲν οὖν ‹‹
ἐκείνην ἔδωκα, καὶ ἤδη σοι ‹‹
παῖδες ἀγαθοὶ βουκόλοι καὶ ‹‹
γεωργοί. νῦν δὲ Δά- ‹‹
φνιν ποιμαίνω καὶ Χλόην, ‹‹
καὶ ἡνίκα ἂν αὐτοὺς εἰς ‹‹
ἓν συναγάγω τὸ ἑωθινὸν, εἰς ‹‹

Digitized by Google

» τὸν σὸν ἔρχομαι κῆπον, καὶ
» τέρπομαι τοῖς ἄνθεσι καὶ
» τοῖς φυτοῖς, κἀν ταῖς πη-
» γαῖς ταύταις λούομαι.
» διὰ τοῦτο καλὰ καὶ τὰ
» ἄνθη καὶ τὰ φυτὰ, τοῖς
» ἐμοῖς λουτροῖς ἀρδόμενα.
» ὅρα δὲ μή τί σοι τῶν φυ-
» τῶν κατακέκλασται, μή τις
» ὀπώρα τετρύγηται, μή
» τις ἄνθους ῥίζα πεπάτη-
» ται, μή τις πηγὴ τετά-
» ρακται· καὶ χαῖρε μόνος
» ἀνθρώπων ἐν γήρᾳ. τοῦ-
» το τὸ παιδίον ταῦτα εἰ-
» πὼν, ἀνήλατο καθάπερ
» ἀηδόνος νεοττὸς ἐπὶ τὰς
» μυῤῥίνας, καὶ κλάδον ἀ-
» μείβων ἐκ κλάδου, διὰ
» τῶν φύλλων ἀνεῖρπεν εἰς
» ἄκρον. εἶδον αὐτοῦ καὶ πτέ-
» ρυγας ἐκ τῶν ὤμων καὶ
» τοξεῖα μεταξὺ πτερύ-
» γων καὶ τῶν ὤμων, καὶ
» οὐκέτι εἶδον οὔτε ταῦτα,
» οὔτε αὐτόν. εἰ δὲ μὴ μά-
» την ταύτας τὰς πολιὰς
» ἔφυσα, μηδὲ γηράσας
» ματαιοτέρας τὰς φρένας

venio hortũ, oblectamen- «
que capio ex floribus & «
plantis, inq; hiſce fontibus «
lauo. Hæc eſt cauſſa, quod «
pulchri ita tibi cõſtent tam «
flores quam plãtulæ, quip- «
pe quæ meis lauationib. ir- «
rigẽtur. Oculis autem col- «
luſtra, nũ tibi aliqua ſtirps «
ſit diffracta, num fructus «
aliqui decerpti, num quæ «
floſculi radix conculcata, «
num quis fonticulus per- «
turbatus ſit; & gaude in ſe- «
necta ætate mortalium ſo- «
lus. Iſte puerulus hiſce di- «
ctis, tanquam philomelæ «
pullus myrtos inſiliit, & de «
ramo in ramum tranſilien- «
do per frondes ereptauit in «
ſummum cacumen. Vidi i- «
pſius tum alas ex humeris «
dependulas, tum arculum «
alas inter & humeros ia- «
centem; nec hactenus cõ- «
ſpicere vel iſta, vel iſtũ cõ- «
tigit. Quod ſi itaq; nõ fru- «
ſtrà hos canos enutrierim, «
neq; vaniorẽ mentem ani- «
mi nactus fuerim, poſtquam ætas noſtra ngra- «

,, ueſcere cœpit; Amori, ô
,, pueri, deſponſi atq; dicati
,, eſtis, & Amor veſtri curam
,, gerit. Apparuit ipſos tum
,, maiorem in modum dele-
,, ctari, veluti fabulam, non
,, ſermonem verum audiuiſ-
,, ſent; quæſiueruntque: Et
,, quidnam eſt Amor? vtrum
,, puer, an auis? Et quidnam
,, poteſt? Rurſus idcircò Phi-
,, letas infit: Deus eſt, pueri,
,, Amor, adoleſcentulus &
,, formoſus, idemq; volati-
,, cus. Idcircò & iuuēta gau-
,, det, pulchritudiniſq; eſt ſe-
,, ctator, & animos facit ala-
,, tos. Potentia eius tanta,
,, quāta ne Iouis quidē. Do-
,, minatur elementis, domi-
,, natur ſideribus, domina-
,, tur & ipſis diis æqualibus.
,, Neq; vos tantum in capras
,, vel oues imperium habe-
,, tis. Omnes flores Amoris
,, ſunt opera. Iſtæ plantæ, i-
,, pſius ſunt factura. Per hūc
,, fluuii fluunt, flantq; venti.
,, Scio ego taurum quoq; a-
,, more correptum; & veluti

ἐκτησάμην, ἔρωτι, ὦ “
παῖδες, καταπέπεισθε, καὶ “
ἔρωτι ὑμῶν μέλει. πάνυ “
ἐτέρφθησαν ὥσπερ μῦθον, “
οὐ λόγον, ἀκούοντες, καὶ “
ἐπυνθάνοντο, τί ἐστι πο- “
τε ὁ ἔρως; πότερα παῖς, “
ἢ ὄρνις; καὶ τί δύναται; “
πάλιν οὖν ὁ Φιλητᾶς ἔ- “
φη· Θεός ἐστιν, ὦ παῖ- “
δες, ὁ ἔρως, νέος, καὶ “
καλὸς, καὶ πετόμενος· “
διὰ τοῦτο καὶ νεότητι χαί- “
ρει, κάλλος διώκει, καὶ “
τὰς ψυχὰς ἀναπτεροῖ. δύ- “
ναται δὲ τοσοῦτον ὅσον οὐ- “
δὲ ὁ Ζεὺς· κρατεῖ μὲν “
στοιχείων· κρατεῖ δὲ ἄ- “
στρων· κρατεῖ δὲ τῶν ὁ- “
μοίων θεῶν· οὐδὲ ὑμεῖς “
τοσοῦτον τῶν αἰγῶν καὶ “
τῶν προβάτων. τὰ ἄν- “
θη πάντα, ἔρωτος ἔργα· “
τὰ φυτὰ ταῦτα, τού- “
του ποιήματα. διὰ τοῦ- “
τον καὶ ποταμοὶ ῥέουσι, “
καὶ ἄνεμοι πνέουσιν. ἔ- “
γνων δὲ ἐγὼ καὶ ταῦρον “
ἐρασθέντα· καὶ ὡς οἰ- “

στρῳ “

„ στρῳ πληγεὶς ἐμυκᾶτο·	ſtimulo ictus mugiebat: “
„ καὶ τράγον φιλήσαντα	etiam hircum, qui amabat “
„ αἶγα, καὶ ἠκολούθει παν-	capellam; & quoquouer- “
„ ταχοῦ· αὐτὸς μὲν γὰρ ἤ-	ſum eam ſequebatur. Ipſe “
„ μην νέος, καὶ ἠράσθην	certò iuuenili adhuc ætate “
„ Ἀμαρυλλίδος, καὶ οὔτε	ardebã Amaryllida; & im- “
„ τροφῆς ἐμεμνήμην, οὔτε	memor tum cibi agebam: “
„ ποτὸν προσεφερόμην, οὔ-	nec potum ori admouere, “
„ τε ὕπνον ᾑρούμην, ἤλγουν	neque ſomnum capere cu- “
„ τὴν ψυχὴν, τὴν καρ-	rabã: dolore animus meus “
„ δίαν ἐπαλλόμην, τὸ σῶ-	angebatur, palpitabat cor, “
„ μα ἐψυχόμην· ἐβόων ὡς	frigore corpꝰ horrebat: vo- “
„ παιόμενος, ἐσιώπων ὡς νε-	ciferabar, nõ ſecus ac ſi va- “
„ κρούμενος· εἰς ποταμοὺς ἐνέ-	pularem: ſilebam rurſus “
„ βαινον ὡς καόμενος· ἐκά-	tamquã iam planè in mor- “
„ λουν τὸν Πᾶνα βοηθὸν,	tuis eſſem: fluuiis me im- “
„ ὡς καὶ αὐτὸν τῆς Πίτυος ἐρα-	mergebam, quaſi igne fla- “
„ σθέντα· ἐπῄνουν τὴν Ἠχὼ, τὸ	grarem: inuocabam Pana “
„ Ἀμαρυλλίδος ὄνομα μετ᾽	ferret opem, vti qui ipſe “
„ ἐμὲ καλοῦσαν· κατέκλων	quoq; Pinus amore captus “
„ τὰς σύριγγας, ὅτι μὴ τὰς	fuiſſet: laudabã Echo quod “
„ μὲν βοῦς ἔθελγον, Ἀμα-	Amaryllidos nomen me- “
„ ρυλλίδα δὲ οὐκ ἦγον. ἔρωτος	cum vnà ingeminaret: ca- “
„ γὰρ οὐδὲν φάρμακον οὐ πι-	lamos frangebã, quoniam “
„ νόμενον, οὐκ ἐσθιόμενον, οὐκ	boues quidẽ mihi mulce- “
„ ἐν ᾠδαῖς λαλούμενον· ὅτι	rent, non tamen Amarylli- “
„ μὴ φίλημα καὶ περιβο-	da pellicere poſſent. Nulla “
„ λὴ, καὶ συγκατακλιθῆναι γυ-	enim amoris eſt medicina, “

„ nec cibus, nec potus, nec carmen vllum, præter- “
„ quam oſculum, amplexus, & nudorũ corporum “

concubitus. Atq; Philetas vbi tali modo ipſos inſtituerat, caſeis quibuſdam & hœdo iam cornigero ab illis accepto, diſceſſit. Ceterùm iſti abſq; arbitris relicti, & tunc primum Amoris nomine audito, quaſi rabie quadam corripiebãtur animis, & cum nocte caſas repetẽtes, iis quæ audiuerãt comparabant ea quæ ipſi in ſe experiebantur.
» Dolorem ſentiunt amãtes: nec nos doloris exſortes.
» Negligentes ſunt vtiq; & languent ad cetera: tales ſanè fuimus & nos.
» Dormire nequeunt: & nos conſequitur iam inſomnia.
» Vri ſe putant: & intra nos ignis ardet.
» Nihil tam cupiunt quàm ſe contrà intueri: Et eã ob cauſam nos optamus citius diem illuceſcere.
» Clarũ, hoc Amorem eſſe: & amamus inter nos, & neſcimus.
» Siquidẽ igitur hoc eſt amor, ego verò amaſius; quid igitur

μόνοις σώμασι. Φιλητᾶς μέν τοι ταῦτα παιδεύσας αὐτοὺς, ἀπαλλάττεται, τυρούς τινας παρ' αὐτῶν καὶ ἔριφον ἤδη κεράστην λαβών. οἱ δὲ μόνοι καταλειφθέντες, καὶ τότε πρῶτον ἀκούσαντες τὸ ἔρωτος ὄνομα, τάς τε ψυχὰς συνεστάλησαν ὑπὸ λύπης, καὶ ἐπανελθόντες νύκτωρ εἰς τὰς ἐπαύλεις, παρέβαλλον οἷς ἤκουσαν τὰ αὑτῶν.
“ ἀλγοῦσιν οἱ ἐρῶντες· καὶ ἡμεῖς: ἀμελοῦσιν ἴσως· ὡς ἡμεῖς ἠμελήκαμεν: καθεύδειν οὐ δύνανται· τοῦτο μὲν καὶ νῦν πάσχομεν ἡμεῖς: κάεσθαι δοκοῦσι· καὶ παρ' ἡμῖν τὸ πῦρ: ἐπιθυμοῦσιν ἀλλήλους ὁρᾶν· διὰ τοῦτο θᾶττον εὐχόμεθα γίνεσθαι τὴν ἡμέραν. σχεδὸν τοῦτό ἐστιν ὁ ἔρως· καὶ ἐρῶμεν ἀλλήλων οὐκ εἰδότες· εἰ τοῦτο μέν ἐστιν ὁ ἔρως· ἐγὼ δὲ ὁ ἐρώμενος, τί οὖν ταῦτα

» ταῦτα ἀλγοῦμεν; τί δὲ
» ἀλλήλους ζητοῦμεν; ἀλη-
» θῆ πάντα εἶπεν ὁ Φιλη-
» τᾶς. τὸ ἐκ τοῦ κήπου παι-
» δίον ὤφθη καὶ τοῖς πα-
» τράσιν ἡμῶν ὄναρ ἐκεῖ-
» νο, καὶ νέμειν ἡμᾶς τὰς
» ἀγέλας ἐκέλευσε. πῶς ἄν
» τις αὐτὸ λάβοι; μικρὸν
» ἐστι καὶ φεύξεται. καὶ πῶς
» ἄν τις αὐτὸ φύγοι; πτε-
» ρὰ ἔχει καὶ καταλήψε-
» ται. ἐπὶ τὰς Νύμφας δεῖ
» βοηθοὺς καταφυγεῖν; ἀλλ'
» οὐδὲ Φιλητᾶν ὁ Πὰν ὠ-
» φέλησεν Ἀμαρυλλίδος ἐ-
» ρῶντα. ὅσα εἶπεν ἄρα φάρ-
» μακα, ταῦτα ζητητέα.
» φίλημα καὶ περιπλοκὴν,
» καὶ κεῖσθαι γυμνοὺς χα-
» μαί. κρύος μὲν, μαρτυ-
» ρήσομεν δεύτεροι μετὰ
» Φιλητᾶν. τοῦτο αὐτοῖς γί-
νεται νυκτερινὸν παιδίον
τέλειον. καὶ ἀγαγόντες τῆς
ἐπιούσης ἡμέρας τὰς ἀ-
γέλας εἰς νομὴν, ἐφίλη-
σαν μὲν ἀλλήλους ἰδόντες,
ὃ μήπω πρότερον ἐποίη-

ita dolore cruciamur? & “
cur tanto deſiderio nos in- “
uicē quærimus? Nihil pla- “
nè mentitus eſt Philetas. “
Ille ex horto puellus viſus “
eſt quoq; patribus noſtris “
in illis olim ſomniis, & pa- “
ſcere nos greges iuſſit. Qua “
ratione quis ipſum prehē- “
dat? puſillus eſt; ideoq; fu- “
ga elabetur. Et quo modo “
quis illum fuga eludat? ali- “
ger eſt; ideoq; adſequetur. “
Ad Nymphaſne oportebit “
patronas cōfugere? Atqui “
neq; Philetæ Pan tantillū “
profuit ſaucio Amaryllidis “
amore. Quæcunq; dixerit “
remedia tandē, iſta fuerint “
quærenda. Suauium, in- “
quam, complexus, & iace- “
re nudos humi. Frigus qui- “
dem eſt inteſum; ceterùm “
hoc vel Philetæ exemplo “
ſuſtinebimus. Hic illis erat “
quaſi ludus quidā nocturnus. Imminente verò die
gregib. in pabulū propul-
ſis; oſculis ſe mutuò con-
ſpectos inuaſerunt, quod nunquam antea fece-

rant;tum manibus alternis amplexus iūxere. Tertii tamen remedii experimentū facere non audebant, depoſitis ſcilicet veſtib. concumbere. Callidum namq; nimis hoc facinus, quàm vt iuniores caprarii illud ſuſciperent, nedum virgines. Iterū ergò, quæ prius, noctes inſomnes, cum recordatione eorū quæ facta erant, & querela de iis quæ non facta: ,, Et oſcula contulimus; & nihil tamen inde ,, commodi ſentimus. Amplexati ſumus inter nos; & ,, nihil amplius fermè profecimus. Procūmbere igitur ,, nudos id ſolum medicamē reſtat amoris. Tentandum ,, hoc quoq; omnino namq; ,, in eo efficacius quidpiam ,, oſculo latebit. Talibus his cogitationibus indulgentes, vt veriſimile eſt, ſomnia quoq; videbāt amatoria: Oſculationes, amplexationes, & quæ per diem non patrauerant, hæc per ſomnum perpetrabant: nudi nempe vnà iacebant.

σαν, καὶ περιέβαλλον τὰς χεῖρας ἐπαλλάξαντες. τὸ δὲ τρίτον ὤκνουν φάρμακον, ἀποδυθέντες κατακλιθῆναι. θρασύτερον γὰρ οὐ μόνον παρθένων, ἀλλὰ καὶ νέων αἰπόλων. πάλιν οὖν ἀγρυπνία ἔχουσα καὶ ἔννοιαν τῶν γεγενημένων, κατάμεμψιν τῶν παραλελειμμένων. καὶ ἐφιλήσαμεν, καὶ οὐδὲν ὄφελος· περιεβάλλομεν, καὶ οὐδὲν πλέον σχεδόν. τὸ συγκατακλιθῆναι, μόνον φάρμακον ἔρωτος. πειρατέον καὶ τούτου· πάντως ἐν αὐτῷ τι κρεῖττον ἔσται φιλήματος. ἐπὶ τούτοις τοῖς λογισμοῖς, οἷον εἰκὸς καὶ ὀνείρατα ἑώρων ἐρωτικὰ τὰ φιλήματα· τὰς περιβολάς· καὶ ὅσα δὲ μεθ' ἡμέραν οὐκ ἔπραξαν, ταῦτα ὄναρ ἔπραξαν· γυμνοὶ μετ' ἀλ-

κήλων ἔκειντο. ἐνθεώπερεὶ δὲ κατὰ τὴν ἐπιοῦσαν ἡμέραν ἀνέστησαν, καὶ ῥοίζῳ τὰς ἀγέλας κατήλαυνον, ἐπειγόμενοι κατὰ τὰ φιλήματα· καὶ ἰδόντες ἀλλήλους, ἅμα μειδιάματι κατέδραμον. τὰ μὲν οὖν φιλήματα ἐγίνετο, καὶ ἡ περιβολὴ τῶν χειρῶν ἠκολούθησε· τὸ δὲ τρίτον φάρμακον ἐβράδυνε, μήτε τοῦ Δάφνιδος τολμῶντος εἰπεῖν, μήτε τῆς Χλόης βουλομένης καταρχέσθαι, ἔς τε τύχη καὶ τοῦτο ἐπράξαν. καθέζοντο ἐπὶ στελέχους δρυὸς, πλησίον ἀλλήλων· καὶ γευσάμενοι τῆς ἐν φιλήματι τέρψεως, ἀπλήστως ἐνεφοροῦντο τῆς ἡδονῆς. ἦσαν δὲ καὶ χειρῶν περιβολαὶ, θλίψιν τοῖς στόμασι παρέχουσαι· καὶ τὴν τῶν χειρῶν περιβολὴν βιαιότερον δὴ τοῦ Δάφνιδος ἐπισπασαμένου, κλίνεταί πως ἐπὶ πλευρὰν ἡ Χλόη. κἀκεῖνος

cebat. Tanquam verò numine aliquo vehementiore adflati die inſequẽte ſurrexerunt, & cum impetu quodam greges expulerũt, ad oſcula feſtinabundi, viſiſque ſe mutuò, ſuauè ridentes concurrerunt. Oſcula igitur mutuiter dabantur & reddebãtur; iamque brachiis circumiectis ſe inuaſerant; quum tamen tertium remediũ ceſſaret, quòd neq; Daphnis illius mentionẽ facere auderet, neq; Chloe ſanè initiũ dare rei vellet; donec forte fortuna etiã illius periculum fecerunt. Super trunco quercus iunctim ambo ſedebant, & guſtata oſculorũ dulcedine, inexplebili quaſi ingurgitabantur voluptate, oriebaturq; ſimul brachiorum mutua lucta, quæ labellorũ compreſſionẽ arctã efficiebat; quumque brachialem complexũ violentius Daphnis attraxiſſet, factũ fuit vt Chloe

aliquantulum in latus inclinaret, illeq; ſuper, ſuauium dũ captat, procumberet. Recognoſcentes igitur ſomniorum hanc ipſam imaginem, longo tempore quaſi inter ſe colligati iacuerunt. Ceterùm ignari quæ poſt illa agere deberẽt, & arbitrati, hunc eſſe fruitionis amatoriæ finẽ, plurima diei parte nequicquam ita conſumpta, rurſus ſunt diſiũcti, & greges compellere cœperunt, cum quodam noctis odio. Fortaſſe autẽ veri aliquid patraſſent, ni tumultus talis totam ruſtrẽ illam viciniam cõpleſſet. Iuuenes Methymnæi opib. pollentes, vindemiã facere & quidẽ apud extraneos hãc oblectationẽ ſibi ſumere volentes, nauicula in mare detracta, ſeruiſq; domeſticis remigũ vice impoſitis, Mitylenæorum agros, qui iuxta mare ſiti erant, circũ nauigarũt. Portub⁹ namq; opportuna eſt ora maritima,

δὲ συγκατακλίνεται τῷ φιλήματι ἀκολουθῶν. καὶ γνωρίσαντες τὴν ὀνείρων τὴν εἰκόνα, κατέκειντο πολὺν χρόνον ὥσπερ συνδεδεμένοι. ἰδόντες δὲ τῶν ἐντεῦθεν οὐδὲν, καὶ νομίσαντες τοῦτο εἶναι πέρας ἀπολαύσεως ἐρωτικῆς, μάτην τὸ πλεῖστον τῆς ἡμέρας δαπανήσαντες, διελύθησαν, καὶ τὰς ἀγέλας ἀπήλαυνον, τὴν νύκτα μισοῦντες. ἴσως δὲ καὶ τῶν ἀληθῶν τι ἔπραξαν, εἰ μὴ θόρυβος τοιόσδε πᾶσαν τὴν ἀγροικίαν ἐκείνην κατέλαβε. νέοι Μηθυμναῖοι πλούσιοι διαθέσθαι τὸν τρυγητὸν ἐν ξενικῇ τέρψει θελήσαντες, ναῦν μικρὰν καθελκύσαντες, καὶ οἰκέτας προσκώπους καθίσαντες, τοῖς Μιτυληναίων ἀγροῖς παρέπλεον, ὅσα θαλάσσης πλησίον. εὐλίμενός τε γὰρ ἡ παραλία, καὶ οἰκή-

εσιν ἠσκημένη πολυτελῶς, καὶ λουτρὰ συνεχῆ, παράδεισοί τε καὶ ἄλση· τὰ μὲν, φύσεως ἔργα· τὰ δὲ, ἀνθρώπων τέχνη· πάντα ἐνοικῆσαι καλά. καταπλέοντες δὲ καὶ ἐνορμιζόμενοι, κακὸν μὲν ἐποίουν οὐδέν· τέρψεις δὲ ποικίλας ἐτέρποντο· ποτὲ μὲν ἀγκίστροις καλάμων ἀπηρτημένοις ἐκ λίνου λεπτοῦ, πετραίους ἰχθῦς ἁλιεύοντες ἐκ πέτρας ἁλιτενοῦς· ποτὲ δὲ κυσὶ καὶ δικτύοις λαγωοὺς φεύγοντας τὸν ἐν ταῖς ἀμπέλοις θόρυβον, λαμβάνοντες· ἤδη δὲ καὶ ὀρνίθων ἄγρας ἐμέλησεν αὐτοῖς, καὶ ἔλαβον βρόχοις χῆνας ἀγρίους, καὶ νήττας, καὶ ὠτίδας· ὥστε καὶ ἡ τέρψις αὐτοῖς καὶ τραπέζης ὠφέλειαν παρεῖχεν. εἰ δέ τινος προσέδει, παρὰ τῶν ἐν τοῖς ἀγροῖς ἐλάμβανον, περιττοτέρους τῆς ἀξίας ὀ-

ritima, & habitationibus exornata magnificis; ad hoc balneæ ibi crebræ, pometa & nemora; iſta à natura: illa ab hominum arte profecta: omnia tamen ad inhabitandũ cõmoda. Naue igitur adpulſa & in ſtationẽ ſubducta, nemini iniuriam vel damnũ inferebant vllum, ſed variis oblectamentis ſeſe recreabant: nunc hamis ab arundine ſuſpenſis linea tenui piſces ſaxatiles, de petra, quæ in pelagus prominebat, captantes: nunc canib. retibuſve lepores, qui ſtrepitũ in vineis laborãtium fugitabant, venantes: iam verò & aucupio vacãtes laqueis poſitis feros anſeres, anates, & aues tardas capiebãt: adeò vt iſthæc oblectatio ipſis menſam quoq; nõ inutiliter inſtrueret. Quod ſi aliis inſuper opus erat, ab iis qui in agris verſabantur ſumebãt, plures, quàm pro rerum valore par erat, nu-

mulos refundentes. Opus autem erat tantùm pane, vino, ac tecto. Hautquaquam enim periculi expers videbatur, vergentis iã autumni tempeſtate in mari pernoctare. Itaq; & nauem ipſam in terram ſubtrahebant, metu noctis tempeſtuoſæ. Agreſtium porrò vnus reſtis indigus, cuius ope lapis, qui calcatos acinos contunderet, tolli in altũ poſſet; eâ quam antea habuerat, ruptâ, clandeſtinò ad mare tenderat, nauemq;, quam cuſtodiebat nemo, acceſſerat atq; funẽ, quo ea religabatur, exſoluerat, eoq; demũ abſportato, ad quod volebat, vſus fuerat. Mane igitur facto, Methymnæa iuuentus de fune inquirere cœpit, &, confiteri namq; furtũ nemo, paucis de hoſpitũ iniuria conqueſti, inde ſoluentes naue diſceſſerunt, atq; ſtadia triginta prouecti, agris, in quibus Chloe

βόλους καταβάλλοντες. ἔδει δὲ μόνον ἄρτου καὶ οἴνου, καὶ στέγης. οὐ γὰρ ἀσφαλὲς ἐδόκει, μετοπωρινῆς ὥρας ἑστώσης, ἐνθαλαττεύειν. ὥστε καὶ τὴν ναῦν ἀνεῖλκον ἐπὶ τὴν γῆν, νύκτα χειμέριον δεδοικότες. τῶν δή τις ἀγροίκων, ἐς ἀνολκὴν λίθου θλίβοντος τὰ πατηθέντα βοτρύδια χρήζων σχοίνου, τῆς πρότερον ῥαγείσης, κρύφα ἐπὶ τὴν θάλατταν ἐλθὼν, ἀφρουρήτῳ τῇ νηῒ προσελθὼν, τὸ πεῖσμα ἐκλύσας, οἴκαδε κομίσας, ἐς ὅ, τι ἐχρῇζεν, ἐχρήσατο. ἕωθεν οὖν οἱ Μηθυμναῖοι νεανίσκοι ζήτησιν ἐποιοῦντο τοῦ πείσματος, καὶ ὡμολόγει γὰρ οὐδεὶς τὴν κλοπὴν, ὀλίγα μεμψάμενοι τοὺς ξενοδόχους, παρέπλεον· καὶ στάδια τριάκοντα παρελάσαντες, προσορμίζονται τοῖς ἀγροῖς, ἐν οἷς ᾤκουν ἡ Χλόη

Χλόη καὶ ὁ Δάφνις. ἐδόκει γὰρ αὐτοῖς καλὸν εἶναι τὸ πεδίον ἐς θήραν λαγωῶν. σχοινὸν μὲν οὖν οὐκ εἶχον ὥστε ἐκδήσασθαι πεῖσμα· λύγον δὲ χλωρὰν μακρὰν στρέψαντες ὡς σχοινόν, ταύτῃ τὴν ναῦν ἐκ τῆς πρύμνης ἄκρας εἰς τὴν γῆν ἔδησαν. ἔπειτα τὰς κύνας ἀφέντες ῥινηλατεῖν. ἐν ταῖς εὐκαίροις φαινομέναις τῶν ὁδῶν, ἐλινεστάτουν. οἱ μὲν δὴ κύνες ἅμα ὑλακῇ διαθέοντες, ἐφόβησαν τὰς αἶγας· αἱ δὲ τὰ ὀρεινὰ καταλιποῦσαι, μᾶλλόν τι πρὸς τὴν θάλασαν ὥρμησαν. ἔχουσαι δ' οὐδὲν ἐν ψάμμῳ τρώξιμον, ἐλθοῦσαι πρὸς τὴν ναῦν αἱ θρασύτεραι αὐτῶν, τὴν λύγον τὴν χλωράν, ᾗ δέδετο ἡ ναῦς, ἀπέφαγον· ἦν δέ τι καὶ κλυδώνιον ἐν τῇ θαλάσσῃ, κινηθέντος ἀπὸ τῶν ὀρῶν πνεύματος.

& Daphnis degebāt, adpulerunt. Videbatur n. ipſis venaturæ leporū exercendæ ille campus eſſe aptiſſimus. Reſte itaq; deſtituti, qua pro rudēte vti potuiſſent, lētæ ſalicis virgas prælongas in modū funis contorſerunt, ſicquè nauem à puppi ſumma ad litus religauerunt. Tum deniq; canibus indagatū in eas vias, quæ ad iſtam rem maximè commodæ videbantur, dimiſſis, lina poſuerunt. Canes proinde cum latratu diſcurrentes, capras territ auere; quę ideò montanis relictis, magis verſus mare ſe proripuere; vbi quum nihil edule in arenoſa humo inuenirent, ibi tum earum quæ petulciores erant nauim accedentes, ſalicem viridem, quâ ea ad litus alligata fuerat, commanducauere. Eodem autem temporis momento etiam æſtu quodam mare feruere cœperat, commoto de montibus vento.

Celerrimè igitur liberam illam, fluctuum reciprocatio abripuit, inq; pelagus altè ſublatā immiſit. Poſtquā Methymnæis hæc innotuere, illico pars ad mare curſuram capere: pars canes cogere: omnes autē clamare, ita vt quicunq; in vicinis eſſent agris hoc audito cōfluerent. Verum actum erat. Vento namque magis magiſq; augeſcente, irreuocāda pernicitate nauis cum fluctu auferebatur. Idcirco Methymnæi haud parua opum iactura facta, caprarū paſtorē quęrebāt, & inuento Daphnide, pugnos ei ingerebant, veſtes detrahebant, vnus ex illis etiam numella arrepta manus ipſius, vti vincturus, retorquebat. Daphnis autem verberibus ita multatus quiritabat, & ſuppliciter ruſticanorū fidem implorabat, primoſq; Lamonem & Dryantē, vt ſibi ſuppetiatū illicò profi-

ταχὺ δὴ μάλα λυθεῖσαν αὐτὴν, ὑπήνεγκεν ἡ παλίρροια τοῦ κύματος, καὶ ἐς τὸ πέλαγος μετέωρον ἔφερεν. αἰσθήσεως δὴ τοῖς Μηθυμναίοις γενομένης, οἱ μὲν ἐπὶ θάλασαν ἔθεον· οἱ δὲ, τοὺς κύνας συνέλεγον· ἐβόων δὲ πάντες, ὡς πάντας τοὺς ἐκ τῶν πλησίον ἀγρῶν ἀκούσαντας συνελθεῖν. ἀλλ' ἦν οὐδὲν ὄφελος. τοῦ γὰρ πνεύματος ἀκμάζοντος, ἀσχέτῳ τάχει κατὰ ῥοῦν ἡ ναῦς ἐφέρετο. οἱ δ' οὖν οὐκ ὀλίγων κτημάτων Μηθυμναῖοι στερόμενοι, ἐζήτουν τὸν νέμοντα τὰς αἶγας· καὶ εὑρόντες τὸν Δάφνιν ἔπαιον, ἀπέδυον. εἷς δέ τις καὶ κυνόδεσμον ἀράμενος περιῆγε τὰς χεῖρας, ὡς δήσων. ὁ δὲ, ἐβόα τε παιόμενος, καὶ ἱκέτευε τοὺς ἀγροίκους, καὶ πρώτους τε τὸν Λάμωνα καὶ τὸν Δρύαντα βοηθοὺς ἐπεκάλει.

καλέσῃ. οἱ δὲ ἀντείχοντο σκιῤῥοὶ γέροντες, καὶ χεῖρας ἐκ γεωργικῶν ἔργων ἰσχυρὰς ἔχοντες, καὶ ἠξίουν δικαιολογήσασθαι περὶ τῶν γεγενημένων. ταῦτα δὲ καὶ τῶν ἄλλων ἀξιούντων, δικαστὴν καθίζουσι Φιλητᾶν τὸν βουκόλον. πρεσβύτατός τε γὰρ ἦν τῶν παρόντων, καὶ κλέος εἶχεν ἐν τοῖς κωμήταις δικαιοσύνης περιττῆς. πρῶτοι δὲ κατηγόρουν οἱ Μηθυμναῖοι σαφῆ καὶ σύντομα, βουκόλον ἔχοντες δικαστήν. „ἤλθομεν εἰς τούτους τοὺς ἀγροὺς θηρᾶσαι θέλοντες. τὴν μὲν οὖν ναῦν λύγῳ χλωρᾷ δήσαντες ἐπὶ τῆς ἀκτῆς κατελίπομεν· αὐτοὶ δὲ διὰ τῶν κυνῶν ζήτησιν ἐποιούμεθα θηρίων. ἐν τούτῳ πρὸς τὴν θάλασσαν αἱ αἶγες τούτου κατελθοῦσαι, τήν τε λύγον κατεσθίουσι καὶ τὴν ναῦν ἀπολύουσιν. εἶδες αὐτὴν ἐν τῇ θαλάσσῃ

ciſcerētur, inclamabat. Qui ſanè ſtatim ſe opponebāt, calloſi ſcilicet ſenes & qui manus ex labore ruſtico robuſtas haberent; atq; vt iure de iis quæ accidiſſent, diſceptaretur, poſtulabāt. Eadem autem aliis etiā depoſcentib. iudicem Philetam bubulcū conſtituunt. Prouectiſſimus etenim ætate erat eorū qui impræſentiarum cōuenerant, interq; paganos iuſtitiæ famâ inſignis. Primi itaque Methymnæi perſpicuè & breuiter accuſare inceperunt, côram bubulco nempe agentes iudice: „Venimus in hos agros venationis exercendæ. Quare nauem ſaligno vimine recenti deuinctā ad litus reliquimus; Nos cum canib. feras indagare cœpimus. Interim dū hæc agimus, capræ iſtius ad mare deueniētes, vimen illud corrodunt, & ita nauem liberant. Vides ipſam in mari iactari,

„ quãtis vere bonis refertã?
„ quæ ſanè peſſum ilicet ie-
„ runt. Qualis verò ornatus
„ canum? quanta argenti co-
„ pia? qui tanta haberet, a-
„ gros vtique hoſce facilè iis
„ comparauerit. Pro his du-
„ cere hunc æquũ cenſemus,
„ qui eſt caprarius nequã ſu-
„ per mare nimirũ capras qui
„ paſcat, quaſi nauta quiſpiã.
Talis Methymnæorũ fuit
accuſatio. Daphnis contrà
etſi ex verberib. malè eſſet
adfectus, vbi tamẽ Chloen
præſentem conſpexit, om-
nia ſuſq; deque habebat; i-
ſtaq; ſui defendendi pro-
„ ferebat: Ego capris paſcen-
„ dis probè meo officio fun-
„ gor. Neq; vnquam vicino-
„ rũ vel vnus criminatus eſt,
„ quaſi vel hortũ capella mea
„ depauiſſet, vel vitẽ nouel-
„ lam, ſiue germina emitten-
„ tem, confregiſſet. Iſti autẽ
„ ſunt venatores improbi &
„ canes habent malo more
